διατείβοντας, καὶ ἐπὶ τὰ δεῖπνα ἑαυτοὺς καλοῦντας.

Σχόλια. Τοὐπιτετριμμένης] παρὰ τὸ τετριβαλλὸς φησὶ παίζων γεγονέναι τὸ ἐπὶ τῇ ὕβρει ἐπιτετριβέντος. Καὶ τὴν Βασιλείαν σοι γυναῖκ' ἔχειν] σωματοποιεῖ τὴν Βασιλείαν αὐτὸ τὸ πρᾶγμα ὡς γυναῖκα. Εὐφρόνιος ὅτι Διὸς θυγάτηρ ἡ Βασιλεία. καὶ δοκεῖ τὸ κατὰ τὴν ἀθανασίαν αὐτῇ οἰκονομεῖν. ἣν ἔχει καὶ παρὰ Βακχυλίδῃ ἡ Ἀθηνᾶ τῷ Τυδεῖ δώσουσα τὴν ἀθανασίαν. ἔτι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία. ἔνιοι δὲ τὴν ἀθανασίαν καλοῦσι. τὴν λοιδορίαν. ὡς καὶ τοῦτο ἐν τῶν πολλῶν. εἰς αὔξησιν δὲ τῆς κωμῳδίας τοῦτό φησι. Τὸν κωλακρέτην.] τὸν ταμίαν τῶν πολιτικῶν χρημάτων. Ἀριστοφάνης ὁ γραμματικὸς, τούτους ταμίας εἶναί φησι τοῦ δικαστικοῦ μισθοῦ. οὐ μόνον δὲ τούτου τὴν ἐπιμέλειαν ἐποιοῦντο ὥς φησιν, ἀλλὰ καὶ τὰ εἰς θεοὺς ἀναλισκόμενα, διὰ τούτων ἀνηλίσκετο. ὡς Ἀνδροτίων γράφει οὕτως. τοῖς δὲ ἰοῦσι Πυθῶδε θεωροῖς, τοὺς κωλακρέτας διδόναι ἐκ τῶν ναυκληρικῶν ἐφόδιον ἀργύρια. καὶ εἰς ἄλλο ὅτι ἂν δέῃ ἀναλῶσαι. ταμίαι δὲ ἦσαν, καὶ προεστῶτες τῆς δημοσίας σιτήσεως. Τὰ τριώβολα.] μιγνύουσι καὶ ἐκ τῶν ὄντων παρὰ τοῖς Ἀττικοῖς. οὐχ εἰστήκει δὲ αὐτοῖς τὸ τριώβολον. πολλαχοῦ γὰρ καὶ δύο ὀβολοὺς εἰλήφασιν. Ἐπανθρακιζόμενα.] ἀντὶ τοῦ ἀνθρακίδας ἐσθιόμενα. ἔστι δὲ εἶδος ἰχθύος λεπτὸν, ὃ παροπτῶντες ἐσθίουσιν. ἄλλως. ὀπτὰς ἐσθιόμενα. ἢ ἄνθρακας ζωπυρούμενα. ὡς ἐν κωμῳδίᾳ δὲ τοῦ εὐτελεστέρου ἐμνήσθη, ἐπὶ ἄλλων μέγιστα ἰσχύοντος τοῦ πυρός.

Bisetvs. Σουΐδας. ἀνθρακίδες, λεπτοὶ ἰχθύες ὀπτοί. καὶ πάντα τὰ ἐπ' ἀνθράκων ὀπτώμενα οὕτω λέγονται. Καὶ Ἡσύχιος. ἐπανθρακίδες, τὰ ἐπ' ἀνθράκων ὀπτώμενα ἰχθύδια. καὶ τῇδε τῇ λέξει Ἀριστοφάνης ἐχρήσατο καὶ ἐν τοῖς Ἀχαρνεῦσιν οὕτω λέγων,

Ἡνίκ' ἐπανθρακίδες ὦσι παρακείμεναι.

ἐντεῦθεν τὸ ῥῆμα τὸ ἐπανθρακίζειν παράγεται, τὸ ἐπ' ἀνθράκων ὀπτᾶν. καὶ Εὐστάθιος λέγει τοῦτο τὸ ῥῆμα παρὰ τοῖς Ἀττικοῖς σημαίνειν ὀπτᾶν. ἀλλ' ἐκεῖ, ὡς καὶ ἐνταῦθα πρὸ τοῦ ἦν, διεφθαρμένως γράφεται ἀπανθρακιζόμενα παρὰ τὴν ἐτυμολογίαν. ἀλλ' ὁ ποιητὴς ταῦτα νῦν ἔοικε λέγειν ὅτι ὁ Προμηθεὺς κατὰ τοὺς μύθους τὸ πῦρ τοῖς θεοῖς κλέψας τοῖς ἀνθρώποις ἔδωκεν, ὡς μαρτυρεῖ καὶ Αἰσχύλος ἐν Προμηθεῖ δεσμώτῃ,

παντέχνου πυρὸς σέλας
Θνητοῖσι κλέψας ὤπασεν. τοιᾶσδέ τοι
Ἁμαρτίας σφὲ δεῖ θεοῖς δοῦναι δίκην.

Μισῶ δ' ἅπαντας] Αἰσχύλος ἐν τῷ αὐτῷ δράματι τὸν Προμηθέα οὕτω λαλοῦντα εἰσάγει,

Ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς,
Ὅσοι παθόντες εὖ, κακοῦσι μ' ἐκδίκως.

Σχόλια. Θεομισὴς ἔφυς.] ὁ μέν φησι τῷ Προμηθεῖ ἴσον τι τῷ ὑπὸ θεῶν μισούμενος, διὸ καὶ ὀξυτόνως ἀναγνωστέον. ὁ δὲ τὸ ἕτερον δέχεται μισῶν θεοὺς, ὡς ὁ Τίμων ἀνθρώπους. Δοκῶ κανηφόρῳ] ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Ἕρμιππος θεῶν. ὥσπερ αἱ κανηφόροι λευκοῖσιν ἀλφίτοισιν ἐντετριμμέναις. ἐγὼ δ' ἕνεκα ψαλάθων τὴν διφροφόρον. Νικοφῶν δὲ ἐν χειρογαστόρων γένα. αὐτὸς ὀλίγον ἄναγε ἀπὸ τῆς διφροφόρου. χρηστὸς εἶ καὶ κόσμιος. Καὶ τὸν δίφρον] ἐδιφροφόρει. ἐπειδὴ εἶπεν, ἵνα δόξω ἀκολουθεῖν κανηφόρῳ, λέγει παίζων καὶ δίφρον βάσταζε.

ΣΤΡΟΦΗ
κώλων ς'.

Χο. Πρὸς δὲ τοῖσι σκιάποσι λίμνη τις ἔστ' ἄλουτος, οὗ
Ψυχαγωγεῖ Σωκράτης.
Ἔνθα καὶ Πείσανδρος ἦλθεν
Δεόμενος ψυχὴν ἰδεῖν ἣ
Ζῶντ' ἐκεῖνον προὔλιπεν.

VERSIO membrorum
sex.

Cho. *Ad autem hæc, sciapodibus palus quædam est illauatiua, quo*
*Animas ducit Socrates,*
*Quo & Pisandrus venit,*
*Rogans animam videre, vel*
*Viuentem illum præreliquit.*

Σχόλια. Πρὸς δὲ τοῖσι σκιάποσιν.] ἡ παροῦσα στροφὴ κώλων ἐστὶ τροχαϊκῶν ἐπιμεμιγμένων χορείοις καὶ σπονδείοις ς. καὶ ἡ ἀντιστροφὴ τοιούτων. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος. τῆς δ' ἀντιστροφῆς κορωνίς. ταῦτα δὲ ἐξήγησίς ἐστι τῶν ἀνωτέρων. γένος δέ ἐστι τῶν περὶ τὸν δυτικὸν ὠκεανὸν πρὸς τῇ κεκαυμένῃ ζώνῃ. ὡς ἀψύχους δὲ διασύρει τοὺς φιλοσόφους. καὶ ὡς ἐπὶ σκιᾶς βαδίζοντας. τούτους δὲ ἔχειν βήματα φασὶ τοῦ παντὸς μείζονα. διὰ δὲ τὸ μὴ ἔχειν οἶμαι ἀλλ' ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι. οὔσης τῆς γῆς αὐτῶν καὶ τραχείας καὶ κατάδυσιν οὐκ ἐχούσης εἰς ἀποφυγὴν τοῦ καύματος. Ψυχαγωγεῖ Σωκράτης.] ἐπειδὴ λιτοί εἰσιν οἱ φιλόσοφοι καὶ ἄτροφοι, διὰ τοῦτο τοὺς σκιάποδας παρέλαβεν. μυθευόμενον δέ τι καὶ τοῦτο τὸ γένος ἐστίν. ἄλουτον δὲ εἶπε τὴν λίμνην, καθὸ ἀλουτοῦντες καὶ ῥυποφοροῦντες, ἐφιλοσόφουν οἱ περὶ τὸν Σωκράτη. Ἔνθα καὶ Πείσανδρος.] οὗτος δειλὸς ἦν. ἦλθεν οὖν ψυχὴν ἰδεῖν θέλων. ἐπεὶ οὐκ εἶχεν. ὡς Εὔπολις ἐν Ἀστρατεύτοις. Πείσανδρος εἰς Πακτωλὸν ἐστρατεύετο. κἀνταῦθα τῆς σῆς στρατείας κάκιστος ἦν ἀνήρ. ἁπανταχοῦ δὲ ἦν δειλός. ἦν δὲ τὸ σῶμα εὐεκτὴς ὡς Ἕρμιππος ἐν Ἀρτοπώλισιν. ἐνέβαινε σιγῇ Πείσανδρος μέγας αὐτὸς ὥσπερ Διονυσίοισιν ὃς ἐπὶ τῶν ξύλων ἐλαίας ἔξεισιν ὄνος κανθήλιος. καὶ δωροδοκῆσαί φησιν Ἀριστοφάνης Βαβυλωνίοις. διὰ τούτων οἱ δῶρ' αἰτοῦντες ἀρχὴν πολέμου ποιήσειεν μετὰ Πεισάνδρου. δύο δέ εἰσι Πείσανδροι, καθάπερ Εὔπολις ἐν Μαρικᾷ φησιν. Ἄκουε νῦν Πείσανδρος ὡς ἀπόλλυται, Ὁ στρεβλὸς, οὔ. ἀλλ' ὁ μέγας Οὐνοκίνδιος. καὶ Πλάτων ἐν Πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει.

Bisetvs. Οὐνοκίνδιος. τὸ πλῆρες, ὁ ὀνοκίνδιος. ἔστι δὲ κατὰ τὸν Σουΐδαν ὀνηλάτης, ἀστραβηλάτης. καὶ Ἡσύχιος, ὀνοκίνδιος, καὶ ὀνοκίνδας, ἀστραβηλάτης, ὀνηλάτης. ὁ δὲ Πολυδεύκης δωρικὴν λέξιν εἶναι λέγει. Σουΐδας τούτου τοῦ τόπου, καὶ στίχου μνημονεύων, Πεισάνδρου δειλότερος, παροιμιακῶς λέγεσθαί φησιν, ὅτι οὗτος καθ' ὑπερβολὴν δειλὸς ἦν. φιλοπόλεμος μέντοι, καὶ πολεμοποιὸς κερδῶν ἰδίων ἕνεκα, μέγας δὲ, καὶ ἐκαλεῖτο ὀνοκίνδιος. τὸ δὲ ἐπὶ Πεισάνδρου λεγόμενον, ὅτι ἦλθε δεόμενος ἰδεῖν ψυχὴν, ἣ ζῶντ' ἐκεῖνον προὔλιπεν, ἔχει δύναμιν παροιμίας εἰς τοὺς καθ' ὑπερβολὴν δειλούς. οὗτος γὰρ οὕτω δειλὸς γενέσθαι φέρεται, ὥστε ἀεὶ φοβεῖσθαι μὴ τὴν ἑαυτοῦ ψυχὴν ἑαυτοῦ ἔν τινι τόπῳ προλιποῦσαν, καὶ προδιδοῦσαν ἴδῃ. τοῦτο δὲ οὐ μόνον δειλίας, ἀλλὰ καὶ μωρίας, καὶ ἀναισθησίας μεγίστης σαφέστατον ἦν τεκμήριον.

ANTI-